ἡ ε μονὰς πρὸς τὸν ζ ἀριθ.
οὕτως ὁ ζ πρὸς τὸν θ
ὁ θ πρὸς τὸν α

πρὸς τὸν Θ. καὶ ἔτι ἄρα ἡ Ε μονὰς πρὸς τὸν Ζ ἀριθμόν, οὕ-
τως ὁ Ζ πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Α. διὰ τὰ αὐτὰ δὴ
καὶ ὡς ἡ Ε μονὰς πρὸς τὸν
Η ἀριθμόν, οὕτως ὁ Η πρὸς
τὸν Λ καὶ ὁ Λ πρὸς τὸν Β. ὅσοι
ἄρα εἰς τοὺς Α, Β μεταξὺ κα-
τὰ τὸ συνεχὲς ἀνάλογον
ἐμπεπτώκασιν ἀριθμοί,
τοσοῦτοι καὶ ἑκατέρου τῶν
Α, Β καὶ μονάδος τῆς Ε
μεταξὺ κατὰ τὸ συνεχὲς
ἀνάλογον ἐμπεπτώκα-
σιν ἀριθμοί· ὅπερ ἔδει δεῖξαι:-



ι̅ Ἐὰν δύο ἀριθμῶν καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς
ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι ἑκατέρου αὐ-
τῶν καὶ μονάδος ἑξῆς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνά-
λογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς αὐ-
τοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται. δύο
γὰρ ἀριθμῶν τῶν Α, Β καὶ μονάδος τῆς Γ μεταξὺ κα-
τὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν ἀριθμοὶ οἱ
Δ, Ε καὶ οἱ Ζ, Η. λέγω ὅτι ὅσοι ἑκατέρου τῶν Α, Β καὶ μο-
νάδος τῆς Γ μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμ-
πεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς Α, Β μετα-
ξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται. ὁ Δ
γὰρ τὸν Ζ πολλαπλασιάσας τὸν Θ ποιείτω· ἑ-
κάτερος δὲ τῶν Δ, Ζ τὸν Θ πολλαπλασιάσας ἑ-

κάτερον τῶν Κ, Λ ποιείτω· καὶ ἐπεί ἐστιν ὡς ἡ Γ μονὰς πρὸς
τὸν Δ ἀριθμόν, οὕτως ὁ Δ πρὸς τὸν Ε· ἰσάκις ἄρα ἡ Γ
μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν Ε. ἡ δὲ Γ μονὰς
τὸν Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· καὶ
ὁ Δ ἀριθμὸς τὸν Ε μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας·
ὁ Δ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίη-
κεν· πάλιν ἐπεί ἐστιν ὡς ἡ Γ μονὰς πρὸς τὸν Δ ἀ-
ριθμόν, οὕτως ὁ Ε πρὸς τὸν Α· ἰσάκις ἄρα ἡ Γ μονὰς
τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Ε τὸν Α. ἡ δὲ Γ μονὰς τὸν
Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· καὶ ὁ Ε
ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Δ ἄ-
ρα τὸν Ε πολλαπλασιάσας τὸν Α πεποίηκεν· διὰ
ταὐτὰ δὴ καὶ ὁ μὲν Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Η
πεποίηκεν· τὸν δὲ Η πολλαπλασιάσας τὸν Β πε-
ποίηκεν· καὶ ἐπεὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας
τὸν Ε πεποίηκεν· τὸν δὲ Ζ πολλαπλασιάσας τὸν Θ
πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Ε ηα̅ ιζ̅ τ̅ ζ̅
πρὸς τὸν Θ. διὰ ταὐτὰ δὴ καὶ ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕ-
τως ὁ Θ πρὸς τὸν Η. καὶ ὡς ἄρα ὁ Ε πρὸς τὸν Θ οὕτως
ὁ Θ πρὸς τὸν Η. πάλιν ἐπεὶ ὁ Δ ἑκάτερον τῶν Ε, Θ πολ-
λαπλασιάσας ἑκάτερον τῶν Α, Κ πεποίηκεν, ἔστιν
ἄρα ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Κ. ἀλλ' ὡς α̅ τ̅ ιζ̅
ὁ Ε πρὸς τὸν Θ οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ ηα̅ ιζ̅ τ̅ ζ̅
πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Κ. πάλιν ἐπεὶ ἑκά-
τερος τῶν Ζ, Δ τὸν Θ πολλαπλασιάσας ἑκάτερον
τῶν Κ, Λ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕ- ηα ιη̅ τ̅ ζ̅